# *ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ*[1]

*[To fellow believers]*

**1.1** Συμεων[2] Πετρος, δουλος και αποστολος Ιησου Χριστου, τοις ισοτιμον ἡμιν λαχουσιν
πιστιν εν δικαιοσυνη του Θεου ἡμων και Σωτηρος Ιησου Χριστου: 2 Χαρις ὑμιν και
ειρηνη πληθυνθειη εν επιγνωσει του Θεου και Ιησου του Κυριου ἡμων,[3] 3 ὡς[4] παντα ἡμιν
της θειας δυναμεως αυτου τα προς ζωην και ευσεβειαν δεδωρημενης, δια της επιγνωσεως
του καλεσαντος ἡμας δια δοξης και αρετης,[5] 4 δι' ὧν τα τιμια ἡμιν και μεγιστα
επαγγελματα[6] δεδωρηται, ἱνα δια τουτων γενησθε θειας κοινωνοι φυσεως, αποφυγοντες της
εν κοσμω εν επιθυμια φθορας.[7]

## [Take the Truth seriously!]

*[Our 'entrance' depends on us]*

**1.5** Και αυτο δε τουτο,[8] σπουδην πασαν παρεισενεγκαντες, επιχορηγησατε εν τη πιστει
ὑμων την αρετην, εν δε τη αρετη την γνωσιν, 6 εν δε τη γνωσει την εγκρατειαν, εν δε τη
εγκρατεια την ὑπομονην, εν δε τη ὑπομονη την ευσεβειαν, 7 εν δε τη ευσεβεια την
φιλαδελφιαν, εν δε τη φιλαδελφια την αγαπην. 8 Ταυτα γαρ ὑμιν ὑπαρχοντα και
πλεοναζοντα, ουκ αργους ουδε ακαρπους καθιστησιν εις την του Κυριου ἡμων Ιησου
Χριστου επιγνωσιν. 9 Ὧ γαρ μη παρεστιν ταυτα τυφλος εστιν, μυωπαζων, ληθην λαβων
του καθαρισμου των παλαι αυτου ἁμαρτιων.[9]

10 Διο μαλλον, αδελφοι, σπουδασατε[10] βεβαιαν ὑμων την κλησιν και εκλογην
ποιεισθαι,[11] ταυτα γαρ ποιουντες ου μη πταισητε ποτε. 11 Οὑτως γαρ πλουσιως
επιχορηγηθησεται ὑμιν ἡ εισοδος[12] εις την αιωνιον[13] βασιλειαν του Κυριου ἡμων και
Σωτηρος Ιησου Χριστου.[14]

*[Peter's death imminent]*

12 Διο ουκ αμελησω[15] αει ὑμας ὑπομιμνησκειν περι τουτων,[16] καιπερ ειδοτας και
εστηριγμενους εν τη παρουση αληθεια. 13 Δικαιον δε ἡγουμαι, εφ' ὁσον[1] ειμι εν τουτω τω

---

[1] Both the text and the notes are the responsibility of Wilbur N. Pickering, ThM PhD. I venture to affirm to the reader that all original wording of 2 Peter is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deut. 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]). The last note at the end of this book gives explanation about the apparatus.

[2] συμεων $\mathbf{f}^{35}$ אA [75%] RP,HF,OC,TR,NU || σιμων $P^{72}$B [25%] CP

[3] ιησου του κυριου ημων $\mathbf{f}^{35}$ ($P^{72}$)B,C [68%] RP,HF,OC,TR,NU [234 1.4%] || 1 χριστου 234 אA [15%] (CP) || χριστου 1234 [8%] || σωτηρος 1 χριστου 234 [1.2%] || ~ 2341 χριστου [6%] || one other reading [0.4%]

[4] ως $\mathbf{f}^{35}$ $P^{72}$B,C [92%] RP,HF,OC,TR,CP,NU || 1 τα אA [8%]

[5] δια δοξης και αρετης $\mathbf{f}^{35}$ $P^{72}$B [81%] RP,HF,OC,TR,CP || ιδια δοξη και αρετη אA,C [19%] NU

[6] τιμια ημιν (υμιν 3.4%) και μεγιστα επαγγελματα $\mathbf{f}^{35}$ א (81.6%) RP,HF,OC,CP || ~ 13425 B (6.6%) NU || ~ 13452 $P^{72}$ (0.4%) || 1345 (0.6%) || ~ 43125 (A)C (8.6%) || ~ 42315 (1.2%) TR || three further variations (1%)

[7] κοσμω εν (- εν 5%) επιθυμια φθορας $\mathbf{f}^{35}$ [87%] RP,HF,OC,TR,CP || τω 1234 A,B [alone] NU || τω 1 επιθυμιαν 4 (φθοραν $P^{72}$) $P^{72}$א [alone] || 1 επιθυμιας και 4 C [5.6%] || 1 επιθυμιας 4 [2%] || τω 1 επιθυμιας και 4 [4%] || three other variants [0.6%]

[8] δε τουτο $\mathbf{f}^{35}$ א [66%] || ~ 21 $P^{72}$B,C [32%] RP,HF,OC,TR(CP)NU || 1 A [1%] || 2 [0.8%] || one other reading [0.2%] (RP and HF were misled by von Soden. Curiously, this early majority reading is apparently not to be found in any printed edition.)

[9] αμαρτιων $\mathbf{f}^{35}$ $P^{72}$B,C [79%] RP,HF,OC,TR,CP,NU || αμαρτηματων אA [21%]

[10] σπουδασατε $\mathbf{f}^{35}$ $P^{72}$B,C [86%] RP,HF,OC,TR,CP,NU || 1 ινα δια των καλων εργων א(A) [14%]

[11] ποιεισθαι $\mathbf{f}^{35}$ $P^{72}$B,C [80%] RP,HF,OC,TR,CP,NU || ποιησθε אA [13%] || ποιεισθε [6.6%] || ποιησεσθε [0.4%]

[12] εισοδος $\mathbf{f}^{35}$ אA,B,C [75%] RP,HF,OC,TR,CP,NU || 1 η $P^{72}$ [25%]

[13] αιωνιον $\mathbf{f}^{35}$ $P^{72}$אA,B [98%] RP,HF,OC,TR,NU || αιωνιαν C [2%] CP

[14] ημων και σωτηρος ιησου χριστου $\mathbf{f}^{35}$ $P^{72}$אB,C [85%] RP,HF,OC,TR,NU || ~ 23145 A [7%] || 145 [8%] CP (One other reading.)

[15] ουκ αμελησω $\mathbf{f}^{35}$ (95.8%) RP,HF,OC,TR,CP || ου μελλησω ($P^{72}$) (1%) || μελλησω אA,B,C (2.8%) NU || two other readings (0.4%) (Since Peter goes on to predict his imminent death, the majority reading seems to be at odds with that prediction, so the early uncials took evasive action.)

[16] αει υμας υπομιμνησκειν περι τουτων $\mathbf{f}^{35}$ $P^{72}$B,C [90%] RP,HF,OC,CP,NU || ~ 21345 A [3%] TR || ~ 32145 [3.2%] || ~ 14532 א [alone] || ~ 13245 [1.4%] || 2345 [1.4%] || two other readings [0.8%]

σκηνωματι, διεγειρειν ὑμας εν ὑπομνησει, 14 ειδως ὁτι ταχινη εστιν ἡ αποθεσις του
σκηνωματος μου, καθως και ὁ Κυριος ἡμων Ιησους Χριστος εδηλωσεν μοι. 15 Σπουδασω δε
και ἑκαστοτε εχειν ὑμας μετα την εμην εξοδον την τουτων μνημην ποιεισθαι.

*[The prophetic Word is trustworthy]*

**16** Ου γαρ σεσοφισμενοις μυθοις εξακολουθησαντες εγνωρισαμεν ὑμιν την του
Κυριου ἡμων Ιησου Χριστου δυναμιν και παρουσιαν, αλλ’ εποπται γενηθεντες της εκεινου
μεγαλειοτητος 17—λαβων γαρ παρα Θεου Πατρος τιμην και δοξαν φωνης ενεχθεισης αυτω
τοιασδε ὑπο της μεγαλοπρεπους δοξης, “Οὑτος εστιν ὁ Υἱος μου ὁ αγαπητος[2] εις ὅν εγω
ευδοκησα”[3]—18 και ταυτην την φωνην ἡμεις ηκουσαμεν εξ ουρανου ενεχθεισαν συν αυτω
οντες εν τω ορει τω ἁγιω.[4]

19 Και εχομεν βεβαιοτερον τον προφητικον λογον, ὡ καλως ποιειτε προσεχοντες, ὡς
λυχνω φαινοντι εν αυχμηρω τοπω, ἑως οὑ ἡμερα διαυγαση και φωσφορος ανατειλη εν ταις
καρδιαις ὑμων, 20 τουτο πρωτον γινωσκοντες, ὁτι πασα προφητεια Γραφης ιδιας επιλυσεως
ου γινεται. 21 Ου γαρ θεληματι ανθρωπου ηνεχθη ποτε προφητεια,[5] αλλ’[6] ὑπο Πνευματος
Ἁγιου φερομενοι ελαλησαν ἁγιοι Θεου[7] ανθρωποι.

## [Watch out for false teachers!]

*[Their teachings are destructive]*

**2.1** Εγενοντο δε και ψευδοπροφηται εν τω λαω, ὡς και εν ὑμιν εσονται ψευδοδιδασκαλοι,
οἱτινες παρεισαξουσιν αἱρεσεις απωλειας, και τον αγορασαντα αυτους Δεσποτην αρνουμενοι
(επαγοντες ἑαυτοις ταχινην απωλειαν). 2 Και πολλοι εξακολουθησουσιν αυτων ταις
ασελγειαις,[8] δι’ ἃς[9] ἡ ὁδος της αληθειας βλασφημηθησεται. 3 Και εν πλεονεξια πλαστοις
λογοις ὑμας εμπορευσονται, οἱς το κριμα εκπαλαι ουκ αργει, και ἡ απωλεια αυτων ου
νυσταξει.[10]

*[Their doom is sure]*

**4** Ει γαρ ὁ Θεος αγγελων ἁμαρτησαντων ουκ εφεισατο αλλα σειραις ζοφου
ταρταρωσας παρεδωκεν εις κρισιν τηρουμενους,[11] 5 και αρχαιου κοσμου ουκ εφεισατο αλλ’[12]
ογδοον Νωε δικαιοσυνης κηρυκα εφυλαξεν, κατακλυσμον κοσμω ασεβων επαξας, 6 και πολεις
Σοδομων και Γομορρας τεφρωσας καταστροφη[13] κατεκρινεν (ὑποδειγμα μελλοντων ασεβειν[14]
τεθεικως), 7 και δικαιον Λωτ, καταπονουμενον ὑπο της των αθεσμων εν ασελγεια
αναστροφης, ερρυσατο 8 (βλεμματι γαρ και ακοη ὁ δικαιος, εγκατοικων εν αυτοις, ἡμεραν
εξ ἡμερας ψυχην δικαιαν ανομοις εργοις εβασανιζεν) 9—οιδεν Κυριος ευσεβεις εκ

---

1 εφ’ ὁσον *rell* || εφόσον **f35** (I include this for the record, and so as not to lose sight of it. But since there is evidently no difference in meaning, I stay with the conventional pointing.)

2 ουτος εστιν ο υιος μου ο αγαπητος **f35** ℵA,$C^c$ (98.8%) RP,HF,OC,TR,CP || ~ 3456712 $P^{72}$B (alone) NU || three other readings C (0.8%)

3 ευδοκησα **f35** $P^{72}$ℵB,C [88%] RP,HF,OC,TR,CP,NU || ηυδοκησα A [12%]

4 ορει τω αγιω **f35** ℵA (97.6%) RP,HF,OC,TR,CP || ~ 31 $P^{72}$B,C (2.4%) NU

5 ποτε προφητεια **f35** ℵA [84%] RP,HF,OC,TR,CP || ~ 21 B,C [15%] NU || ~ η 21 $P^{72}$ [1%] (Two other readings)

6 αλλ **f35** A,C [90%] RP,HF,OC,TR || αλλα $P^{72}$ℵB [10%] CP,NU

7 αγιοι θεου **f35** ℵ (84.8%) RP,HF,OC,CP || οι 12 (4.2%) TR || 1 του 2 A (2.6%) || απο 2 $P^{72}$B (5.6%) NU || ~ απο 21 C (1.2%) || 1 (0.8%) || 12 προφηται (0.8%)

8 ασελγειαις *rell* || απωλειαις TR

9 ας **f35** [20%] || ους $P^{72}$ℵA,B,C [80%] RP,HF,OC,TR,CP,NU (The people, or the licentious conduct? Is it not really the bad conduct that sullies the reputation of the Way?)

10 νυσταξει **f35** [79%] RP,HF,OC,CP || νυσταζει $P^{72}$ℵA,B,C [21%] TR,NU

11 τηρουμενους **f35** $P^{72}$B,C [89%] RP,HF,OC,CP,NU || τετηρημενους [2%] TR || κολαζομενους τηρειν ℵA [8%] || four other readings [1%]

12 αλλ **f35** [82%] HF,TR || αλλα $P^{72}$ℵA,B,C [18%] RP,OC,CP,NU

13 καταστροφη **f35** ℵA [97%] RP,HF,OC,TR,CP[NU]ECM || --- $P^{72}$B,C [3%]

14 ασεβειν **f35** ℵA,C [92%] RP,HF,OC,TR,CP,ECM || ασεβεσιν $P^{72}$B [4%] [NU] || --- [3%] || three other readings [1%]

πειρασμων[1] ῥυεσθαι, αδικους δε εις ἡμεραν κρισεως κολαζομενους τηρειν, 10 μαλιστα δε
τους οπισω σαρκος εν επιθυμια[2] μιασμου πορευομενους, και κυριοτητος καταφρονουντας.

*[Their depravity is 'unreal']*

Τολμηται, αυθαδεις, δοξας ου τρεμουσιν βλασφημουντες, 11 ὁπου αγγελοι, ισχυι και
δυναμει μειζονες οντες, ου φερουσιν κατ' αυτων παρα Κυριω[3] βλασφημον κρισιν. 12 Οὑτοι
δε, ὡς αλογα ζωα γεγενημενα φυσικα[4] εις ἁλωσιν και φθοραν, εν οἷς αγνοουσιν
βλασφημουντες, εν τη φθορα αυτων καταφθαρησονται,[5] 13 κομιουμενοι[6] μισθον αδικιας.
Ἡδονην ἡγουμενοι την εν ἡμερα τρυφην, σπιλοι και μωμοι, εντρυφωντες εν ταις απαταις
αυτων συνευωχουμενοι ὑμιν, 14 οφθαλμους εχοντες μεστους μοιχαλιδος και ακαταπαυστους[7]
ἁμαρτιας, δελεαζοντες ψυχας αστηρικτους, καρδιαν γεγυμνασμενην πλεονεξιας[8] εχοντες,
καταρας τεκνα, 15 καταλιποντες[9] ευθειαν[10] ὁδον επλανηθησαν, εξακολουθησαντες τη ὁδω του
Βαλααμ του Βοσορ, ὃς μισθον αδικιας ηγαπησεν, 16 ελεγξιν δε εσχεν ιδιας παρανομιας
—ὑποζυγιον αφωνον εν ανθρωπου φωνη φθεγξαμενον εκωλυσεν την του προφητου
παραφρονιαν. 17 Οὑτοι εισιν πηγαι ανυδροι,[11] νεφελαι[12] ὑπο λαιλαπος ελαυνομεναι, οἷς ὁ
ζοφος του σκοτους εις αιωνας[13] τετηρηται.

*[Their victims lose out]*

**18** Ὑπερογκα γαρ ματαιοτητος φθεγγομενοι δελεαζουσιν εν επιθυμιαις σαρκος,
ασελγειας,[14] τους οντως[15] αποφυγοντας[16] τους εν πλανη αναστρεφομενους, 19 ελευθεριαν
αυτοις επαγγελλομενοι, αυτοι δουλοι ὑπαρχοντες της φθορας· ᾧ γαρ τις ἡττηται, τουτω
και[17] δεδουλωται. 20 Ει[18] γαρ αποφυγοντες τα μιασματα του κοσμου εν επιγνωσει του
Κυριου και Σωτηρος[19] Ιησου Χριστου, τουτοις δε παλιν εμπλακεντες ἡττωνται, γεγονεν
αυτοις τα εσχατα χειρονα των πρωτων. 21 Κρειττον[20] γαρ ἠν αυτοις μη επεγνωκεναι την
ὁδον της δικαιοσυνης, ἢ επιγνουσιν επιστρεψαι εκ[21] της παραδοθεισης αυτοις ἁγιας εντολης.

---

1 πειρασμων **f**$^{35}$ ℵ [33%] CP || πειρασμου (P$^{72}$)A,B,C [67%] RP,HF,OC,TR,NU (One other reading.) (I take the plural to be clearly superior in the context. Besides the overt testimony of ℵ, there must be well over twenty independent lines of transmission going back to the 5$^{th}$ century, half of which should go back to the 3$^{rd}$, besides **f**$^{35}$.)

2 επιθυμια **f**$^{35}$ A,B [88%] RP,HF,OC,TR,CP,NU || επιθυμιαις (P$^{72}$)ℵC [12%]

3 παρα κυριω **f**$^{35}$ ℵB,C [81%] RP,HF,OC,TR,CP,ECM || 1 κυριου P$^{72}$ [8%] NU || --- A [11%]

4 γεγενημενα φυσικα **f**$^{35}$ ℵ [26%] CP || ~ 21 [54%] RP,HF,OC,TR || γεγεννημενα 2 A,B,C [3%] NU || ~ 2 γεγεννημενα [12%] || 1 [4.2%] || 2 P$^{72}$ [0.4%] || two other readings [0.4%] (Besides the overt testimony of ℵ, there must be well over twenty independent lines of transmission going back to the 5$^{th}$ century, half of which should go back to the 3$^{rd}$, besides **f**$^{35}$. The majority variant, by putting the adjective next to the noun, seems to make a more natural construction, but I take it that φυσικα is acting like a noun in apposition to ζωα, and to help us see this Peter places it after the participle: render, "as unreasoning animals, creatures of instinct made to be caught and destroyed".)

5 καταφθαρησονται **f**$^{35}$ [95%] RP,OC,TR,CP || και φθαρησονται (P$^{72}$)ℵA,B,C [4%] NU || --- [1%] || και 1 [Soden] HF

6 κομιουμενοι **f**$^{35}$ A,C (97.6%) RP,HF,OC,TR,CP || αδικουμενοι P$^{72}$ℵB (2%) NU || one other variant (0.4%) (Is the Alexandrian variant not inferior?)

7 ακαταπαυστους *rell* || ακαταπαυστου [15%]

8 πλεονεξιας **f**$^{35}$ P$^{72}$ℵA,B,C [95%] RP,HF,OC,CP,NU || πλεονεξιαις [2%] TR || πλεονεξιαν [2%] || πλεονεξια [1%]

9 καταλιποντες **f**$^{35}$ P$^{72}$C [90%] RP,HF,OC,TR,ECM || καταλειποντες ℵA,B [9%] CP,NU (Two other readings.)

10 ευθειαν **f**$^{35}$ P$^{72}$ℵA,B,C [98%] RP,HF,OC,CP,NU || την 1 [2%] TR

11 ανυδροι **f**$^{35}$ (87%) RP,HF,OC,TR,CP || 1 και P$^{72}$ℵA,B,C (13%) NU

12 νεφελαι **f**$^{35}$ (87.4%) RP,HF,OC,TR,CP || ομιχλαι P$^{72}$ℵA,B,C (11.4%) NU || conflation (1.2%)

13 εις αιωνας **f**$^{35}$ (25.1%) || 1 αιωνα A,C (70.3%) RP,HF,OC,TR,CP || 1 τον αιωνα (2.4%) || --- P$^{72}$ℵB (2.2%) NU (In support of this reading there must be well over twenty independent lines of transmission going back to the 5$^{th}$ century, half of which should go back to the 3$^{rd}$, besides **f**$^{35}$.)

14 ασελγειας **f**$^{35}$ [40%] || ασελγειαις P$^{72}$ℵA,B,C [60%] RP,HF,OC,TR,CP,NU

15 οντως **f**$^{35}$ ℵC [93%] RP,HF,OC,TR || ολιγως P$^{72}$A,B [3%] NU || ολιγον [3%] CP || οντως ολιγον [1%]

16 αποφυγοντας **f**$^{35}$ [93%] RP,HF,OC,TR,CP || αποφευγοντας (P$^{72}$)ℵA,B,C [7%] NU

17 και **f**$^{35}$ A,C,048 [99.4%] RP,HF,OC,TR,CP || --- P$^{72}$ℵB [0.6%] NU

18 ει **f**$^{35}$ P$^{72}$ℵA,B,C [94%] RP,HF,OC,TR,NU || οι [6%] CP

19 και σωτηρος **f**$^{35}$ B (75%) RP,HF,OC,TR,CP || ημων 12 P$^{72}$ℵA,C,048 (14.6%) [NU]ECM || 12 ημων (7.8%) || ημων (1.6%) || --- (1%)

20 κρειττον **f**$^{35}$ P$^{72}$B,C [90%] RP,HF,OC,TR,CP,NU || κρεισσον ℵA [10%]

21 επιστρεψαι εκ **f**$^{35}$ (83.7%) RP,HF,OC,TR,CP || εις τα οπισω 12 (4.6%) || 1 εις τα οπισω 2 (1.4%) || υποστρεψαι 2 (P$^{72}$)B,C (4.8%) NU || υποστρεψαι εις τα οπισω 2 (1%) || 2 (0.4%) || εις τα οπισω ανακαμψαι απο ℵA,048 (4.2%)

22 Συμβεβηκεν δε[1] αυτοις το της αληθους παροιμιας: κυων επιστρεψας επι το ιδιον εξεραμα[2]
και ὑς λουσαμενη εις κυλισμα[3] βορβορου.

[So take the Truth seriously!!]

**3.1** Ταυτην ηδη, αγαπητοι, δευτεραν ὑμιν γραφω επιστολην (εν αἱς διεγειρω ὑμων εν
ὑπομνησει την εἱλικρινη[4] διανοιαν), 2 μνησθηναι των προειρημενων ῥηματων ὑπο των
ἁγιων προφητων, και της των αποστολων ὑμων[5] εντολης του Κυριου και Σωτηρος.

*[Scoffers will come]*

**3** Τουτο πρωτον γινωσκοντες, ὁτι ελευσονται επ' εσχατου[6] των ἡμερων[7] εμπαικται,
κατα τας ιδιας επιθυμιας αυτων[8] πορευομενοι 4 και λεγοντες, "Που εστιν ἡ επαγγελια της
παρουσιας αυτου? Αφ' ἡς γαρ οἱ πατερες εκοιμηθησαν παντα οὑτως διαμενει απ' αρχης
κτισεως." 5 Λανθανει γαρ αυτους τουτο θελοντας, ὁτι ουρανοι ησαν εκπαλαι και γη (εξ
ὑδατος και δι' ὑδατος) συνεστωτα[9] τω του Θεου λογω, 6 δι' ὡν[10] ὁ τοτε κοσμος ὑδατι
κατακλυσθεις απωλετο.

[This world will be destroyed]

**7** Οἱ δε νυν ουρανοι και ἡ γη τω αυτου[11] λογω τεθησαυρισμενοι εισιν πυρι,
τηρουμενοι εις ἡμεραν κρισεως και απωλειας των ασεβων ανθρωπων.

[The Lord is longsuffering]

**8** Ἑν δε τουτο[12] μη λανθανετω ὑμας, αγαπητοι, ὁτι μια ἡμερα παρα Κυριω ὡς χιλια
ετη και χιλια ετη ὡς ἡμερα μια.[13] 9 Ου βραδυνει ὁ[14] Κυριος της επαγγελιας, ὡς τινες
βραδυτητα ἡγουνται, αλλα μακροθυμει εις ἡμας,[15] μη βουλομενος τινας απολεσθαι αλλα
παντας εις μετανοιαν χωρησαι.

[Hasten the day of God]

**10** Ἡξει δε ἡ[16] ἡμερα Κυριου ὡς κλεπτης εν νυκτι,[17] εν ᾗ[18] ουρανοι[19] ῥοιζηδον
παρελευσονται, στοιχεια δε καυσουμενα λυθησονται[20]—και γη και τα εν αυτη εργα
κατακαησεται.[21] 11 Τουτων ουν[1] παντων λυομενων, ποταπους δει ὑπαρχειν ὑμας[2] εν ἁγιαις

---

[1] δε $f^{35}$ C [96%] RP,HF,OC,TR,CP || --- $P^{72}$ℵA,B,048ᵛ [3%] NU || γαρ [1%]

[2] εξεραμα *rell* || εξερασμα [13%] || εμετον [7%]

[3] κυλισμα $f^{35}$ ℵA [95%] RP,HF,OC,TR,CP || κυλισμον $P^{72}$B,C [5%] NU

[4] εἱλικρινη $f^{35}$ [20%] || ειλικρινη *rell*

[5] υμων $f^{35}$ $P^{72}$ℵA,B,C [70%] RP,HF,OC,CP,NU || ημων [28.8%] TR || --- [1.2%]

[6] εσχατου $f^{35}$ [87%] RP,HF,TR,CP || εσχατων $P^{72}$ℵA,B,048ᵛ [13%] OC,NU || εσχατω C

[7] ημερων $f^{35}$ [88%] RP,HF,OC,TR,CP || 1 εν εμπαιγμονη ℵA,B,048ᵛ [5.6%] NU || 1 εμπαιγμωνη ($P^{72}$)C [5%] || 1 εμπαιγμωνης [1.2%] || one other reading [0.2%]

[8] επιθυμιας αυτων $f^{35}$ B,C(048) [79%] RP,HF,OC,CP,NU || ~ 21 ℵA [20%] TR || 1 $P^{72}$ [1%] (One other reading.)

[9] συνεστωτα $f^{35}$ ℵ [23%] || συνεστωσα $P^{72}$A,C(048) [76%] RP,HF,OC,TR,CP,NU || συνεστωσαι [1%] || συνεστωσης B (The nominative plural neuter perfect active participle works with ησαν as a periphrastic construction whose subject includes both 'heavens' [m] and 'earth' [f]. Peter's syntax is almost as convoluted as Paul's, at times. $f^{35}$ [$K^r$] is early and independent of $K^x$. Aleph gives overt 4th century attestation, but this variant is also attested by another four independent lines of transmission, besides $f^{35}$, all of which probably go back at least to the 4th century.)

[10] ων $f^{35}$ $P^{72}$ℵA,B,C,048 [97%] RP,HF,OC,TR,CP,NU || ον [2%] ECM || ο [1%]

[11] τω αυτου $f^{35}$ ℵC [90%] RP,HF,OC,CP || 1 αυτω $P^{72}$A,B [9%] NU || 2 TR (Two other variants.)

[12] τουτο $f^{35}$ ℵA,B,C,048 [78%] RP,HF,OC,TR,CP,NU || τουτω $P^{72}$ [22%]

[13] ημερα μια $f^{35}$ $P^{72}$ℵA,B,C [98%] RP,HF,OC,TR,NU || ~ 21 [2%] CP

[14] ο $f^{35}$ [81%] RP,HF,OC,TR,CP || --- $P^{72}$ℵA,B,C,048 [19%] NU

[15] εις ημας $f^{35}$ [80%] RP,HF,OC,TR,CP || 1 υμας $P^{72}$,B,C,048ᵛ [13%] NU || δι υμας ℵA [4%] || δι 2 [2%] || εφ υμας [1%] (Some copyists assimilated to the 2nd person in verse 8, but here in verse 9 Peter is making a general statement that is properly inclusive.)

[16] η $f^{35}$ ℵA [82%] RP,HF,OC,TR,CP || --- $P^{72}$B,C,048 [18%] NU

[17] εν νυκτι $f^{35}$ C (88%) RP,HF,OC,TR,CP || --- $P^{72}$ℵA,B,048 (12%) NU

[18] η $f^{35}$ ℵ,048 [67%] OC || 1 οι $P^{72}$A,B,C [33%] RP,HF,TR,CP,NU (Soden again; just as in verse 5 'heavens' occurs without the article, so here.)

[19] ουρανοι $f^{35}$ $P^{72}$A,B,C,048 [89%] RP,HF,OC,TR,CP,NU || 1 μεν ℵ [11%]

[20] λυθησονται $f^{35}$ A [94%] RP,HF,OC,TR,CP || λυθησεται $P^{72}$ℵB,C,048ᵛ [6%] NU

[21] κατακαησεται $f^{35}$ A (90.2%) RP,HF,OC,TR,CP || κατακαησονται (3.4%) || ευρεθησεται ℵB (3.2%) NU [ευρεθησεται λουμενα $P^{72}$ (alone)] || αφανισθησονται C (alone) || --- [part of a larger omission] (2.8%) || ουχ ευρεθησεται [0%] ECM (ECM follows essentially the Sahidic version.) (The reading of NU is inferior to the point of being almost nonsensical.)

αναστροφαις και ευσεβειαις, 12 προσδοκωντας και σπευδοντας την παρουσιαν της του Θεου
ἡμερας, δι' ἣν[3] ουρανοι πυρουμενοι λυθησονται και στοιχεια καυσουμενα τηκεται?[4]

[A better world is coming]

13 Καινους δε ουρανους και γην καινην[5] κατα το επαγγελμα αυτου[6] προσδοκωμεν, εν
οἷς δικαιοσυνη κατοικει.

*[So be serious!]*

14 Διο, αγαπητοι, ταυτα προσδοκωντες, σπουδασατε ασπιλοι και αμωμητοι[7] αυτω
εὑρεθηναι εν ειρηνῃ· 15 και την του Κυριου ἡμων μακροθυμιαν σωτηριαν ἡγεισθε—καθως
και ὁ αγαπητος ἡμων αδελφος Παυλος κατα την αυτω δοθεισαν[8] σοφιαν εγραψεν ὑμιν,
16 ὡς και εν πασαις ταις[9] επιστολαις (λαλων εν αυταις περι τουτων, εν οἷς[10] εισιν[11]
δυσνοητα τινα), ἃ οἱ αμαθεις και αστηρικτοι στρεβλουσιν,[12] ὡς και τας λοιπας Γραφας,
προς την ιδιαν αυτων απωλειαν. 17 Ὑμεις ουν, αγαπητοι, προγινωσκοντες φυλασσεσθε, ἱνα
μη, τῃ των αθεσμων πλανῃ συναπαχθεντες, εκπεσητε του ιδιου στηριγμου. 18 Αυξανητε[13] δε
εν χαριτι και γνωσει του Κυριου ἡμων και Σωτηρος Ιησου Χριστου.

*[Sign-off]*

Αυτω ἡ δοξα και νυν και εις ἡμεραν αιωνος. Αμην[14,15]

---

1 ουν $\mathbf{f^{35}}$ ℵA,048 (87.6%) RP,HF,OC,TR,CP || ουτως (P$^{72}$)B (6.2%) NU || δε ουτως C (3%) || δε (2%) || 1 ουτως (1.2%)

2 υμας $\mathbf{f^{35}}$ A,C,048$^{v}$ [90%] RP,HF,OC,TR,CP[NU]ECM || ημας ℵ [8.6%] || --- P$^{72}$B [1%] || εαυτους [0.4%]

3 ην *rell* || 1 οι [20%]

4 τηκεται $\mathbf{f^{35}}$ P$^{72}$ℵA,B,048$^{v}$ [91%] RP,HF,OC,TR,NU || τακησεται C [7%] CP || τακησονται [1.4%] || two other readings [0.6%]

5 γην καινην $\mathbf{f^{35}}$ P$^{72}$B,C [83%] RP,HF,OC,TR,CP,NU || ~ 21 ℵA,048 [17%]

6 επαγγελμα αυτου *rell* || ~ 21 CP

7 αμωμητοι $\mathbf{f^{35}}$ P$^{72}$ℵB,C [87%] RP,HF,OC,TR,CP,NU || αμωμοι A [13%]

8 αυτω δοθεισαν $\mathbf{f^{35}}$ [60%] RP,HF,OC,TR,CP || ~ 21 P$^{72}$(ℵ)A,B,C,048 [40%] NU

9 ταις $\mathbf{f^{35}}$ ℵ (96.8%) RP,HF,OC,TR,CP,ECM || --- P$^{72}$A,B,C (3.2%) NU (A not very difficult case of homoioteleuton, 3 x –αις; ECM is certainly correct in abandoning NU here.)

10 οις $\mathbf{f^{35}}$ C [83%] RP,HF,OC,TR,CP || αις P$^{72}$ℵA,B [17%] NU

11 εισιν $\mathbf{f^{35}}$ A [33%] || εστιν P$^{72}$ℵB,C [67%] RP,HF,OC,TR,CP,NU (One other reading.) (Besides the overt testimony of A, there must be well over twenty independent lines of transmission going back to the 5th century, half of which should go back to the 3rd, besides $\mathbf{f^{35}}$.)

12 στρεβλουσιν $\mathbf{f^{35}}$ ℵA,B [95%] RP,HF,OC,TR,CP,NU || στρεβλωσουσιν P$^{72}$C$^{v}$ [5%] ECM

13 αυξανητε $\mathbf{f^{35}}$ [27%] || αυξανετε ℵA,B [60%] RP,HF,OC,TR,CP,NU || αυξανεσθε P$^{72}$C [5%] || αυξανησθε [3%] || αυξανοιτε [5%] (Imperative or Subjunctive? I take it that Peter is offering a gentler alternative to falling from their steadfastness; render "rather, may you grow in grace . . ." This reading is attested by at least ten independent lines of transmission, some of which probably go back to the 3rd century, besides $\mathbf{f^{35}}$.)

14 αμην $\mathbf{f^{35}}$ P$^{72}$ℵA,C (97.4%) RP,HF,OC,TR,CP[NU] || --- B (2.6%) ECM

15 The citation of $\mathbf{f^{35}}$ is based on twenty-four MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 432, 604, 664, 928, 1248, 1249, 1503, 1548, 1637, 1855, 1876, 1892, 1897, 2466, 2587 and 2723—all of which I collated myself. 35 and 2723 are very pure representatives of $\mathbf{f^{35}}$ in 2 Peter, with not a single variant, and so for the exemplars of 18, 141, 1503 and 1897. For 35 and 2723 to have no variants after all the centuries of transmission is surely an eloquent demonstration of the faithfulness and accuracy of that transmission. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Trikala, Mt. Athos [four different monasteries], Rome, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

I have included six published editions in the apparatus—RP,HF,OC,TR,CP,NU. RP = Robinson-Pierpont (2005), HF = Hodges-Farstad, OC = the Greek Text of the Greek Orthodox Church (also used by other Orthodox Churches; I have not collated OC, so it may have some private readings not noted in the apparatus), TR = *Textus Receptus*, CP = Complutensian Polyglot, NU = N-A$^{26}$/UBS$^{3}$ (N-A$^{27}$/UBS$^{4}$ offer changes in the critical apparatus, not in the text; the text is still that of N-A$^{26}$/UBS$^{3}$). ECM basically reproduces NU, but wherever it disagrees it is overtly cited in the apparatus. Where all six printed editions are in agreement, I arbitrarily limit inclusion in the apparatus to variants with at least [10%] attestation.

ECM collated 127 continuous text manuscripts (MSS) for 2 Peter, apart from a few fragments, which number represents about 20% of the extant (known) MSS. By a careful comparison of TuT and ECM I believe we can arrive at some reasonably close extrapolations. Thus I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ± 1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error will hardly exceed ± 2%; where there is some division among the Byzantine witnesses the margin of error will rarely exceed ± 10%.